eul_wid: iio-aa

Ἀναξικράτης ὁ Ἱστορικός · Anaxicrates Historicus

# Argolic Histories

## Ἀποσπάσματα

**Period:** Ἑλληνιστική Hellenistic
**Dialect:** Ἀττική Attic (frg)
**Domain:** Ἱστορία History
**Format:** Πεζός Prose

1 (1t) ΑΡΓΟΛΙΚΑ. E LIBRO SECUNDO. Schol. Venet. in Eurip. Androm. 224: [ Ὦ φίλτα θ ' Ἕκτορ .. . μαστὸν ἤδη πολλάκις νόθοισι σοῖ ς] Τοῦτο παρ' ἱστορίαν φασὶν εἰρῆσθαι· μὴ γὰρ ἱστορεῖσθαι Ἕκτορι ἐξ ἄλλης γυναικὸς γεγενῆσθαι υἱούς. Ἀπερίσκηπτοι δέ εἰσιν οἱ ταῦτα λέγοντες. Ἀναξικράτης γὰρ ἐν τῇ δευτέρᾳ τῶν Ἀργολικῶν οὕτω λέγει· «Οἱ δ' ἀμφ' ἐνέαο καὶ Σκαμάνδριον τὸν Ἕκτορος υἱὸν καὶ πρεσβύτερον Ἦσαν δὲ αὐτῷ οὗτος μὲν νόθος, ὃς ϊ (i. e. ἐν Ἰλίῳ?) κατελήφθη καὶ ἀπόλλυται. Οὗτοι δὲ διασώζονται. Σκαμάνδριος δὲ ἀφίκετο εἰς Ταναΐδα, Αἰνείου δὲ Ἀγχίσης ὁ πατὴρ ϊ (sic) καὶ ἄλλοι τινὲς, παῖδες αὐτῶν, καὶ Ἀγέστας, οἰκεῖος ὢν Ἀγχίσῃ, καὶ Αἰνείας εἰς Δάρδανον μεταπίπτονται.» Schol.

2 Eurip. Med. 19: Περὶ δὲ τῆς Κρέοντος θυγατρὸς οὐχ ὁμοφωνοῦσι τῷ Εὐριπίδῃ οἱ συγγραφεῖς· Κλειτόδημος μὲν γὰρ Κρέουσάν φησι καλεῖσθαι, γήμασθαι δὲ Ξούθῳ, Ἀναξικράτης δὲ Γλαύκην. Strabo XVI, p.

3 768: Τοῦ δὲ Ἀραβίου κόλπου τὸ παρὰ τὴν Ἀραβίαν πλευρὰν ἀρχομένοις ἀπὸ τοῦ Ἐλανίτου μυχοῦ, καθάπερ οἱ περὶ Ἀλέξανδρον ἀνέγραψαν καὶ Ἀναξικράτη, μυρίων καὶ τετραχισχιλίων σταδίων ἐστίν· εἴρηται δὲ ἐπὶ πλέον.